Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-653712-p0001-0

Ung

VI-184.

Occasionalia VI-184.
potissim. in carmina gratul.
vol. cr. Vd-Z
(Cassaiana ab aliis segregata)
Frusta sexaginta. ~~[illegible]~~ s. 184a.)

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-653712-p0002-6

33

Τοῖς

Εκ τȣ̃ τῶν ἀρετῶν θερισμȣ̃

Βραβείοις

Ανδρὶ εὐγενεςάτῳ, ἐνδοξοτάτῳ καὶ ἐσθλοδιδάκτῳ

# ΙΟΑΝΝΗι ΓΕΟΡΓΩι

τῷ

# ΟΥΕΡΝΗΡΩι,

Κατ᾽ ἀξίαν

ὑπὸ τȣ̃

ἐν πολυθρηλλήτῳ Ακαδημίᾳ

Θυιτεμβεργικῇ Cυνεδρίȣ

νεωςὶ δοθεῖσι

συγχαίρει καὶ πλαταγεῖ

ΕΡΔΜΑΝΝ ΓΟΤΤΦΡΙΕΔ ΚΑΜΕΝΖ;

περὶ θεολογ. σπȣδας.

---

ἐτυπώθη

Εν τῇ τῶ Cαξόνων Οὐιτεμβέργῃ,

ἔτει ἐκ χ́ρισογονίας

α. ψ. ι. γ.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-653712-p0003-1

ΘΕῖον ἐν ἱδρείαις πάντεσσί τ᾽ ἐπίῤῥοτον εἶναι
Ἔξοχον ἀργαλέος τε κατὰ θνητοῖσι νοῆσαι
Ὣς ἔφατ᾽ Ἀττικίζων Μωσῆς, ᾧ κ᾽ ᾔνεον ἄλλοι,
Ὅσσων μειλιχίη σοφίη πραπίδεσσι μέμηλε,
Καὶ λιγέως, πρῶτον πέλετ᾽ ἐν χαριεστάτῃ ἥβῃ
Ὁρμὴ πανδαμάτωρ φύσεως καὶ θερμὸς ἀϋτμή,
Ἐν γὰρ τοῖς στήθεσσι μένος πατρώϊόν ἐστι,
Ὡς Ἕκτωρ πυρὸς αἰνὸν ἔχει μένος οὐκ ἐπιεικτόν.
Γράμματα κ᾽ ἠγαθέου τύχης κἂν κωφὰ λέλοιχε,
Πολλῶν ἐν σωμάτεσσιν ἀριζήλοισι τέτυκται
Ἰσαμένης τριάδος τό τε τετραγράμματον ἱρόν.
Οὐνόμασιν μεγαλαυχὲς ἅλις πολλοῖς κ᾽ ἀγακλειτὸν
Ὥσπερ Ἰωάννου ἤθει Ἀρείῳ ἔνεσι.
Μῦθοι δ᾽ αὖ γλώσσης ἐροέσσης θεῖον ἔχουσι
Μέντοι θερμότατόν τε λόγου πῦρ μητιέταο
Καὶ κλέος εὐεπίης φρενοθέλγεος ἀμφιβόητον,
Ὅσσην πέρ τε λόγοισι βίην ἄῤῥηκτον ὀπάζοι
Θυμοῦ τ᾽ αὖ μένος ἠΰ καὶ ἄλκιμον ἐν φρεσὶ πάντων
Ἀμβροσίης μολπῆς αὐλὸς Φοιβήϊον εὖχος
Καὶ λιγύφωνος ἔχει ἀλιάστου θέλκτρον ἀνίης.
Φαίνει εὐστεφάνων μυστήρια θέσκελα Μουσῶν
Πρᾶξις ἀπόῤῥητος φύσεως χαλεπή περ ἐοῦσα

Οἰωνοὺς τε διϊπετέας καὶ θηρια γνωναι
Δῖον ἔχει πάμπαν φιλοθρήνου τ᾽ ἄλγεος ἄλκαρ
Χάρμα μέγ᾽ ἀνθρώποισι κακῶν θελκτὴρ ὀδυνάων
Ουρανόθεν νούσων πολυαλγέα πήματα θέλγων,
Ιδμοσύνη πάντων, ἄγε καμπύλος ἔδρακεν αἰὼν
Εις ὀλίγων συνάγει χαρτῶν, πέρας οἶδμ᾽ ἀπέραντον
Ιςορίας Μοῦσαι φίλαι καὶ μήδεα πυκνά.
Τίς κέν μοι, τὸ δὲ ἔργον ὑποσχόμενος τελέσειεν;
Ατρεκέως τίς ἔειπε θεοῦ τ᾽ ἐρικυδέα δῶρα;
Αιθαλόεσσα βίη καὶ ὑπέρθυμ·ς οὖσα βροτοῖσι
Αργάλεον πάντεσσι, τὸ γὰρ μένος ἐςὶ καὶ ἀλκη.
Ουδε ἐμὸι περίκειται ἐρεῖν μενοεικέα πολλὰ,
Αλλ᾽ ἤτοι νῦν δῶκ᾽ ἴδμων πανυπέρτατα πᾶσιν
Δῖα θεὰ μήτηρ ὑπέρολβος δῖα μάθησις,
Η τόσα ἠΰκομος μάλα μέρμερα μήσατο ἔργα,
Ησγε ἐπὶ τῇ ξανθῇ τέχνῃ μάλα πολλὰ μόγησαν
Αντολίη, δύσις ἠδὲ καὶ Ελλάδος εὖχος Αθῆναι
Ουρεος ἐν βήσσῃς τε παρ᾽ ὠκεανὸν βαθυδίνην
Οικοῦντεσ, μηδεὶς ἀγεωμέτρητος ἀπῆλθε,
Κρύφθη ἐν ἰσομέτροις ἔμπης γὰρ θεῖον ἀριθμοῖς
Καὶ μᾶλλον πλεκτοῖο χοροῦ περιηγέϊ κύκλῳ
Εν κρατεροῖς καὶ ἐν εὐθύμοις κατὰ πάντα λογισμοῖς
Δεῖξει ἐτητυμίης πανθελγέος ἐμπεδομύθῳ.
Ω χαρίεσσα θεὰ πολυώνυμε, καὶ πολύναε,
Πότνι᾽ Αθηναίη θείαν καλέοντι τυ πάντες,
Δῖα γὰρ οὖσα βροτοὺς ἐδίδαξας ἀθέσφατα πολλὰ
Ολβια ὅσσα ἴσατι πανόλβια δῖα νόησις.
Τοὔνεκα Πιερικῶν μουσῶν ςόμα ἔφραδε μύθῳ
Οττ᾽ ἐγένοντ᾽ ἀγαθοὶ τε σοφοὶ κατὰ δαίμονα φῶτες
Υμμες καὶ μέγεθος νοῦς ἢ φύσιν ἀθανάτοισι (a)
Εμπαν προσφέρομεν; θνητοὶ θεῖον γένος εἴη.

(a) Αλλ᾽ ὅμως καὶ τοι οὐδαμινοὶ ὄντες, φησὶν ὁ Πίνδαρος, ἐμφερές τι ἔχομεν τοῖς θεοῖς. ἢ κατὰ νοῦν. θεῖος γὰρ ἐν ἡμῖν κατὰ τὸν Ευριπίδην, ἢ κατὰ τὰς εὐφυΐας τῶν σωμάτων, καὶ κάλλη. Εκ τούτων διαγνῶναί ἐςι τὸ φανερὸν ἐνθουσιῶδες πολλοῖς μὲν δῆλον μάλιςα δὲ τοῖς τῶν ἀνθρώπων εὐσεβῶν ἐνθέοις μέχρι τοῦ νῦν ἐιθισμένον.

Καὶ τὸ Φυᾷ ῥοδέῃ θείων κάρτιϛον ἁπάντων. (b)
Ην δ᾽ ἄρα παννύχιόν τις ἐπ᾽ ἰδρείαις ὀμόγησε
Θείαις, δῶρα θεῶν Μουσῶν καμάτοισ᾽ ἀγορήσας
Καὶ λάβε Φύλλα Δάφνης αἰδοίης θεῖον ἄεθλον
Τῷ μὲν ἐπὶ γλώσσῃ μαλακὴν χέουσιν ἀοιδὴν
Ηὔκομοι, καὶ θαιμνὰ θεοὺς θεαὶ ἀείδοντι,
Αμμες οἵδε βροτοὶ, θνητοὺς βροτοὶ ἀείδωμεν
Ηματι ἐν τούτωγε παραιΦάμενοι ἐπέεσσιν.
Χαῖρε νέων, ἀγαπητὲ Φίλων, ΑΝΕΡ ΑΞΙΟΤΙΜΕ,
Καὶ χαλεποὺς κατόπιθε πόνους ἰσόῤῥοπα ἄθλα.
Πλεῖϛα λαβοῦ σοΦίας θείας διδαχῆς καὶ ἐπ ἀκμᾷ.
Ηνὶ δέ τοι ϛέΦανον λωτῷ χαμαὶ αὐξομένοιο
Πλεξαμέναι Μῶσαι τιμῶντες σεῖο κάρηνον
Πρῶται δ᾽ ἀργυρέας ἐξ ὄλπιδος ὑγρὸν ἄλειΦαρ
Τοι δῶκ᾽ ἰδρείας θεῖας τεκμήρια δῖα
Αντ᾽ αἰεὶ ϛυγερῶν μόχθων ἱεροὺς κατ᾽ ἀγῶνας
Σοὶ γὰρ ἀμαιμάκετος σπουδὴ καὶ ὁρμὴ ἀτειρὴς
Εργοπόνος ψυχὴν θαλερὸς δέμας, ἤθεα σεμνὸς,
Δωτίνης Μουσῶν πολλῶν ἀντάξιος ἄλλων
Καὶ πολύμοχθος ἔης, σπουδάζων νωλεμὲς αἰεὶ,
Λάσδεο γοῦν τιμὴν, τί δὲ κάλλιον ἀνδρί κεν εἴη
Ολβίῳ, ἢ κλέος ἐσθλὸν ἐν ἀνθρώποισιν ἄρεσθαι,
Δῖα θὲα διδόῃ κατὰ νοῦν τεὸν, ὧν ἐπεθύμεις,
Φύλλα δὲ τῶν κούρων γλυκερῶν κακὰ πάντα κατείργοι.

(b) Ο τοῦ Πινδάρου ϛολιαϛὴς διαμαρτάνει τῆς γνώμης ταύτης εἰπὼν, Πίνδαρον θεὸν τήν Φύσιν λέγειν, ἀλλὰ λειπὰ, καὶ ἑπόμενα ταῦτα ἐξηγοῦνται, τὸ Φυᾷ; τὸ ἐκ Φύσεως προσὸν ἀγαθὸν καὶ θείας μοίρας κράτιϛον καὶ ἐξαίρετον.



Ung VI 184

KEN

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-653712-p0007-3

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-653712-p0008-9

33

Τοῖς

Ἐκ τȣ̃ τῶν ἀρετῶν θερισμȣ̃

Βραβείοις

Ανδρὶ ἐυγενεςάτῳ, ἐνδοξοτάτῳ καὶ ἐσθλοδιδάκτῳ

# ΙΟΑΝΝΗι ΓΕΟΡΓΩι

τῷ

# ΟΥΕΡΝΗΡΩι,

Κατ᾽ ἀξίαν

ὑπὸ τȣ̃

ἐν πολυθρηλλήτῳ Ακαδημίᾳ

Θυιτεμβεργικῆ Cυνεδρίȣ

νεωςὶ δοθεῖσι

συγχαίρει καὶ πλαταγεῖ

ΕΡΔΜΑΝΝ ΓΟΤΤΦΡΙΕΔ ΚΑΜΕΝΖ;

περὶ θεολογ. σπȣδας.

---

ἐτυπώθη

Εν τῇ τῶ Cαξόνων Οὐιτεμβέργῃ,

ἔτει ἐκ χ'ρισογονίας

α. ψ. ι. γ.

Black 3/Color White Magenta Red Yellow Green Cyan Blue
Farbkarte #13
B.I.G.
Centimetres
inches
Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-653712-p0009-8
DFG